ραγδυόμενοι. ἢ τοιοῦτό τι λέγει. ἐσυκοφάντουν οὐ μόνον Μεγαρέας ἀλλὰ καὶ τὰ χλανίσκια αὐτῶν. ἀντὶ τοῦ τὴν ὕπαρξιν αὐτῶν τὴν οὐσίαν. ἢ περιφραστικῶς τοὺς Μεγαρέας. Σίκυον.] ἀπὸ εὐθείας τῆς ὁ σίκυος. καὶ ἀλ- A

λαχοῦ. σικύους ἐνταῦθα ἔπη φυομένους οὐδενὶ κόσμῳ περιιόντες κατήσθιον. καὶ ἐν ἐπιγράμματι. Καὶ σίκυον χνοάοντα τὸν ἐν φύλλοις πεδοκοίτην, τουτέστι πέπονα.

Ἢ χοιρίδιον, ἢ σκόροδον, ἢ χόνδρους ἅλος,
Ταῦτ' ἦν Μεγαρικά. κἀπέπρατ' αὐθημερόν.
Καὶ ταῦτα μὲν δὴ, σμικρὰ κἀπιχώρια.
Πόρνην δὲ Σιμαίθαν ἰόντες Μεγαράδε
Νεανίαι κλέπτουσι μεθυσοκότταβοι.
Κᾆθ' οἱ Μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι
Ἀντεξέκλεψαν Ἀσπασίας πόρνα δύο.
Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου κατερράγη
Ἕλλησι πᾶσιν ἐκ τριῶν λαικαστριῶν.
Ἐντεῦθεν ὀργῇ Περικλέης οὑλύμπιος
Ἤστραπτεν, ἐβρόντα, ξυνεκύκα τὴν Ἑλλάδα.
Ἐτίθει νόμους, ὥσπερ σκολιὰ γεγραμμένους.
Ὡς χρὴ Μεγαρέας μήτ' ἐν γῇ μήτ' ἐν ἀγορᾷ
Μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ μένειν.
Ἐντεῦθεν οἱ Μεγαρῆς ὅτε δὴ 'πείνων βάδην
Λακεδαιμονίων ἐδέοντο, τὸ ψήφισμ' ὅπως
Μεταστραφείη τὸ διὰ τὰς λαικαστρίας.
Κοὐκ ἠθέλομεν ἡμεῖς δεομένων πολλάκις.
Κἀντεῦθεν ἤδη πάταγος ἦν τῶν ἀσπίδων.
Ἐρεῖ τις οὐ χρῆν, ἀλλὰ τί χρῆν; εἴπατε.
Φέρ' εἰ Λακεδαιμονίων τις ἐκπλεύσας σκάφει,
Ἀπέδοτο φήνας κυνίδιον Σεριφίων.
Καθῆσθ' ἂν ἐν δόμοισιν; ἢ πολλοῦ γε δεῖ.
Καὶ κάρτα μέντ' ἂν εὐθέως καθείλκετε
Τριακοσίας ναῦς. ἦν δ' ἂν ἡ πόλις πλέα
Θορύβου στρατιωτῶν. περὶ τριηράρχου βοῆς.
Μισθοῦ διδομένου. Παλλαδίων χρυσουμένων.
Στοᾶς στεναχούσης. σιτίων μετρουμένων.
Ἀσκῶν. τροπωτήρων. κάδους ὠνουμένων.
Σκορόδων. ἐλαῶν. κρομμύων ἐν δικτύοις.

*Lepusculum, allium, aut etiam micam salis:*
*Omnia erant Megarica, & eodem statim die*
*Vendebantur, & hæc parua quidem & vulgaria.*
B *Iuuenes profecti Megaram, cottabis adhuc*
*Madidi, Simætham meretricem furtim auferunt:*
*Post Megarenses iusto dolore perciti*
*Vicissim Aspasiæ scorta eripuerunt duo.*
*Hinc belli initium erupit Græcis omnibus,*
*Trium causa meretricum: hinc ira Olympius*
*Pericles tonabat, fulgurabat, Græciam*
C *Omnem miscebat: leges insuper dabat:*
*Scriptas perinde, vt carmina conuiualia:*
*Quòd Megarenses, neque in terra, neque in foro,*
*Neque in mari, neque continente oporteat*
*Manere. Hinc Megarenses paulatim acti fame,*
*Lacedæmonios rogauerunt, decretum vt hoc*
*Subuerteretur, quod propter meretriculas*
D *Latum fuerat: at nos nolebamus, diu*
*Multúmque orantes, audire. Hinc belli furor,*
*Hinc armorum strepitus. Nunc dicat quispiam,*
*Non sic oportebat, quid oportebat? dicite.*
*Agè, si Lacedæmonius quis, aufugiens scapha,*
*Seriphiis catellam occisam redderet:*
*Vtrum sederetis domi, an verò secus?*
*Equidem triginta naues valdè celeriter*
E *Produceretis: plenáque esset ciuitas*
*Tumultu militum, ac magnis clamoribus*
*De præfecto triremium: plena vrbs dantibus*
*Stipendia, Palladiísque auratis: plena item*
*Gemente porticu, re frumentaria:*
*Plena scalmis, loris, ementibus cados:*
*Plena oleis, cepis, alliis intra retia,*

Σχόλια. Ἢ χόνδρους ἅλος.] οὕτως οἱ Ἀττικοί. πολλοὶ γὰρ ἦσαν παρὰ Μεγαρεῦσιν ἅλες. Ταῦτ' ἦν Μεγαρικά.] F ταῦτα λέγοντες εἶναι Μεγαρικὰ πάντα διήρπαζον ὑπὸ τῶν συκοφαντούντων καὶ τοῦ σμικρολόγου. Πόρνην δὲ Σιμαίθαν.] οἱ ἀπὸ τῶν Ἀθηναίων Μεγαρικὴν γυναῖκα ἥρπασαν Σιμαίθαν. δωρικώτερον δὲ εἶπε Σιμαίθαν. ταύτης δὲ καὶ Ἀλκιβιάδης ἠράσθη. ὃς καὶ δοκεῖ ἀναπεπεικέναι τινὰς, ἡρπακέναι τὴν πόρνην. Μεθυσοκότταβοι] λάταξ χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμένην. εἶτα εἰς σμικρὰ ποτήρια ἐμβαλόντες ταύτην ἔρριπτον εἰς τὸ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος. ἐπῃνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν. Πεφυσιγγωμένοι.] φύσιγξ λέγεται, τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων ἢ φυσίττη. ἔπαιξεν G οὖν τοῦτο εἰς Μεγαρέας ὅτι πολλὰ σκόροδα ἔχουσιν. ἢ πεπλησμένοι. ἀπὸ μεταφορᾶς τῶν τὸν ἄνεμον δεχομένων ἀσκῶν ἢ φυσῶν. ἢ ἐκκεκαυμένοι, οἰδοῦντες. Ἀσπασίας πόρνα δύο.] τῇ μιᾷ τούτων ἐχρήσατο ὁ Περικλῆς, δι' ἣν ὀργισθεὶς ἔγραψε τὸ κατὰ Μεγαρέων ψήφισμα

ἀπαγορεύων δέχεσθαι αὐτοὺς εἰς τὰς Ἀθήνας. ὅθεν ἐκεῖνοι εἰργόμενοι τῶν Ἀθηνῶν προσέφυγον τοῖς Λακεδαιμονίοις. ἡ δὲ Ἀσπασία, Περικλέους ἦν ἑταίρα, καὶ διδάσκαλος λόγων ῥητορικῶν. ὕστερον δὲ καὶ γαμετὴ γέγονε. Κἀντεῦθεν ἀρχὴ τοῦ πολέμου.] ἐνταῦθα εἰς τὸν Περικλέα βούλεται ἀγαγεῖν τὴν αἰτίαν τοῦ πολέμου, ὡς οὐκ εὐπρεπῆ αὐτοῦ προσάπτων πρόφασιν. Περικλέης οὑλύμπιος] πρῶτος ὀλύμπιος. ὅτι ὁ Ζεὺς ὀλύμπιος καλεῖται, ἐπήγαγε τὸ ἤστραπτεν, ἐβρόντα. Εὔπολις Δήμοις. κράτιστος οὗτος ἐγένετ' ἀνθρώπων λέγειν. ὁπότε παρέλθοι ὥσπερ οἱ ἀγαθοὶ δρομεῖς, ἐκ καίδεκα ποδῶν ᾕρει λέγων τοὺς ῥήτορας. ταχὺς λέγειν μὲν, G πρὸς δέ γ' αὐτοῦ τῷ τάχει Πειθώ τις ἐπεκάθισεν ἐπὶ τοῖς χείλεσιν. οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων, τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις. Ἐτίθει νόμους.] μιμούμενος τὴν τῶν σκολιῶν ποίησιν. Τιμοκρέων γὰρ ὁ Ῥόδιος μελοποιὸς, τοιοῦτον ἔγραψε σκολιὸν κατὰ τοῦ πλούτου. οὗ ἡ ἀρχή. Ὤφελες ὦ τυφλὲ Πλοῦτε, μήτ' ἐν γῇ μήτ' ἐν θαλάττῃ, μήτ' ἐν ἠπείρῳ φανήμεναι. ἀλλὰ Τάρταρόν τε ναίειν κ' Ἀχέροντα.